εἰς μαι, λήγοντος, ἀπολείπει τὸ Δυϊκὸν πρῶτον πρόσωπον. Ἔτι τοῦ πληθυντικοῦ τρίτου προσώπου λήγοντος εἰς ι, ἢ εἰς αι, τὰ Δυϊκὰ δεύτερα, καὶ τρίτα πρόσωπα ὅμοιά εἰσιν. Ὅτε δὲ ἄλλως ἔχει, ἀνόμοια διατελοῦσιν. Ἔτι Μέλλοντες ἐν τοῖς προσακτικοῖς, καὶ ὑποτακτικοῖς οὐκ εἰσὶν, οἱ Ἀόριστοι δὲ τὴν τῶν Μελλόντων σημασίαν ἔχουσι.

## ΚΕΦ. Ι'.

### Περὶ Μετοχῆς.

§. ρις'. Μετοχὴ δὲ, ὡς καὶ τοὔνομα δηλοῖ, τοῦ Ὀνόματος, καὶ Ῥήματος μετέχει. Παρέπεται δὲ αὐτῇ· Γένος, Εἶδος, Σχῆμα, Ἀριθμὸς, Πτῶσις, Διάθεσις, Χρόνος: καὶ ἔτι Συζυγία, καὶ Κλίσις.

§. ριζ'. Μετοχαὶ Ἐνεργητικαί.

| | |
|---|---|
| Ἐνεστῶς, καὶ | Ὁ τύπτων, τοῦ τύπτοντος. |
| Παρατατικ. | Ἡ τύπτουσα, τῆς τυπτούσης. |
| | Τὸ τύπτον, τοῦ τύπτοντος. |
| Παρακείμ. καὶ | Ὁ τετυφὼς, τοῦ τετυφότος. |
| Ὑπερσυντελ. | Ἡ τετυφυῖα, τῆς τετυφυίας. |
| | Τὸ τετυφὸς, τοῦ τετυφότος. |

✿. Τὰ δὲ πάσχοντα συγκοπὴν φυλάττουσι τὸ ω ἐπὶ τῆς Γενικῆς κατὰ πᾶν Γένος, καὶ τὸ Θηλυκὸν σχηματίζεται εἰς ωσα. οἷον, ὁ γεγαὼς, καὶ κατὰ συγκοπὴν, ὁ γεγὼς τοῦ γεγῶτος, ἡ γεγῶσα τῆς γεγώσης, τὸ γεγὼς τοῦ γεγῶτος. ὁ καθεστηκὼς, καὶ κατὰ συγκοπὴν, ὁ καθεστὼς τοῦ καθεστῶτος, ἡ καθεστῶσα τῆς καθεστώσης,